τετμηκυίας τὰ τέκνα αὐτῶν ἐθανάτωσαν κατὰ τὸ πρόσταγμα 61 καὶ 61
ἐκρέμασαν τὰ βρέφη ἐκ τῶν τραχήλων αὐτῶν, καὶ τοὺς οἴκους
αὐτῶν καὶ τοὺς περιτετμηκότας αὐτούς. 62 καὶ πολλοὶ ἐν Ισραηλ 62
ἐκραταιώθησαν καὶ ὠχυρώθησαν ἐν αὐτοῖς τοῦ μὴ φαγεῖν κοινὰ
63 καὶ ἐπεδέξαντο ἀποθανεῖν, ἵνα μὴ μιανθῶσιν τοῖς βρώμασιν καὶ 63
μὴ βεβηλώσωσιν διαθήκην ἁγίαν, καὶ ἀπέθανον. 64 καὶ ἐγένετο ὀργὴ 64
μεγάλη ἐπὶ Ισραηλ σφόδρα.

1 Ἐν ταῖς ἡμέραις ἐκείναις ἀνέστη Ματταθιας υἱὸς Ιωαννου τοῦ 2
Συμεων ἱερεὺς τῶν υἱῶν Ιωαριβ ἀπὸ Ιερουσαλημ καὶ ἐκάθισεν ἐν
Μωδεϊν. 2 καὶ αὐτῷ υἱοὶ πέντε, Ιωαννης ὁ ἐπικαλούμενος Γαδδι, 2
3 Σιμων ὁ καλούμενος Θασσι, 4 Ιουδας ὁ καλούμενος Μακκαβαῖος, 3 4
5 Ελεαζαρ ὁ καλούμενος Αυαραν, Ιωναθης ὁ καλούμενος Απφους. 5
6 καὶ εἶδεν τὰς βλασφημίας τὰς γινομένας ἐν Ιουδα καὶ ἐν Ιερου- 6
σαλημ 7 καὶ εἶπεν Οἴμμοι, ἵνα τί τοῦτο ἐγεννήθην ἰδεῖν τὸ σύντριμμα 7
τοῦ λαοῦ μου καὶ τὸ σύντριμμα τῆς ἁγίας πόλεως καὶ καθίσαι ἐκεῖ
ἐν τῷ δοθῆναι αὐτὴν ἐν χειρὶ ἐχθρῶν, τὸ ἁγίασμα ἐν χειρὶ ἀλλο-
τρίων; 8 ἐγένετο ὁ ναὸς αὐτῆς ὡς ἀνὴρ ἄδοξος, 9 τὰ σκεύη τῆς 8 9
δόξης αὐτῆς αἰχμάλωτα ἀπήχθη, ἀπεκτάνθη τὰ νήπια αὐτῆς ἐν
ταῖς πλατείαις αὐτῆς, οἱ νεανίσκοι αὐτῆς ἐν ῥομφαίᾳ ἐχθροῦ.
10 ποῖον ἔθνος οὐκ ἐκληρονόμησεν βασίλεια καὶ οὐκ ἐκράτησεν τῶν 10
σκύλων αὐτῆς; 11 πᾶς ὁ κόσμος αὐτῆς ἀφηρέθη, ἀντὶ ἐλευθέρας 11
ἐγένετο εἰς δούλην. 12 καὶ ἰδοὺ τὰ ἅγια ἡμῶν καὶ ἡ καλλονὴ ἡμῶν 12
καὶ ἡ δόξα ἡμῶν ἠρημώθη, καὶ ἐβεβήλωσαν αὐτὰ τὰ ἔθνη. 13 ἵνα 13
τί ἡμῖν ἔτι ζωή; 14 καὶ διέρρηξεν Ματταθιας καὶ οἱ υἱοὶ αὐτοῦ τὰ 14
ἱμάτια αὐτῶν καὶ περιεβάλοντο σάκκους καὶ ἐπένθησαν σφόδρα.

15 Καὶ ἦλθον οἱ παρὰ τοῦ βασιλέως οἱ καταναγκάζοντες τὴν ἀπο- 15
στασίαν εἰς Μωδεϊν τὴν πόλιν, ἵνα θυσιάσωσιν. 16 καὶ πολλοὶ ἀπὸ 16
Ισραηλ πρὸς αὐτοὺς προσῆλθον· καὶ Ματταθιας καὶ οἱ υἱοὶ αὐτοῦ
συνήχθησαν. 17 καὶ ἀπεκρίθησαν οἱ παρὰ τοῦ βασιλέως καὶ εἶπον 17

61 οικους] οικειους A† | αυτων 2⁰] + προενομευσαν S^c L | fin.] + εθανατωσαν S^c L || 62 εκραταιωθησαν] εκρεμασθ. A pau.

2 1 υιος > A | ιωαριβ mu.] -ρ(ε)ιμ SA | μωδε(ε)ιν] -δαειν S^c: item S in 9 19, cf. 16 4 || 2 ο > S*: item S in 3, non in 4. 5(2⁰); de 5(1⁰) cf. inf. | γαδδις A || 3 θασσις A(†) || 4 μακκαβαιος > S*† || 5 ελεαζαρ ο] -ζαρος S L: cf. 2 6 43 | ιωναθης: sic S* La† et Ioseph. Ant. XII 266 Niese: pro -θης praebent -θας AS^c (cf. 5 17); genetiuus est ιωναθου in SA 4 30 13 8. 14, in A 11 69 12 49; datiuus est ιωναθη in A 10 59, ιωναθα in S*† 10 59, in A† 11 57; reliquis locis ιωναθαν non flectitur | απφους V] σαπφους S, αφφους L, σαφφους A || 6 γενομενας S || 7 το συντριμμα 1⁰] τα -ματα A† | και 2⁰ > S*† | της αγ. πολ. S La†] της πολ. της αγ. rel. | καθισαι] εκαθι(uel η)σαν S L La || 8 αδοξος pau. La^p] ενδοξος SA La^p || 9 αυτης 1⁰ > A† || 10 εκληρονομησεν] + εν S L (sequitur βασιλ(ε)ίᾳ) || 11 εγεννηθη A† || 12 τα ult. > A† || 13 ζωη S La†] ζην rel. || 14 επενθησαν] -σεν S*† || 15 ηλθον οι] ηλλοιωθη S*† | αποστασιν S†